Ut probent seipsos, num verè præcedentium peccatorum eos pœniteat, firmum propositum habentes novam vitam instituendi; num fidem vivam habeant in misericordiam Dei per Christum, gratâ memoriâ mortem illius recolentes; num tandem eâ quâ par est charitate omnes homines amplectantur.

ΤΑΞΙΣ
ΤΗΣ ΒΕΒΑΙΩΣΕΩΣ,
Ἡ
Τῆς Χειροθεσίας, ἤγουν ἐπιθέσεως τῶν χειρῶν ἐπὶ τὸν Βαπτισθέντας, καὶ ἐν ἡλικίᾳ ὄντας.

¶ Τῇ τακτῇ ἡμέρᾳ πάντων τότε βεβαιοῦσθαι μελλόντων, ἱδρυθέντων, καὶ ἐνώπιον τοῦ Ἐπισκόπου καθεξῆς ἑστώτων, αὐτὸς (ἢ ἄλλος τις Λειτουργὸς ὑπ' αὐτοῦ διαταχθεὶς) τὸ ἑξῆς προοίμιον τοῦτο ἀναγνώσεται.

Ἵνα πρὸς μείζονα τῶν αὐτὴν προσληψομένων οἰκοδομὴν ἡ Βεβαίωσις διακονηθῇ, ἔδοξε τῇ Ἐκκλησίᾳ διατάττειν μηδένα τὸ λοιπὸν βεβαιωθήσεσθαι εἰ μὴ λέγειν δύναιτ' ἂν τὸ Σύμβολον, τὴν Κυριακὴν Εὐχὴν, καὶ τὰς δέκα Ἐντολὰς, καί γε καὶ τοῖς ἄλλοις ἐρωτήμασιν ἀποκρίνεσθαι τοῖς ἐν τῇ συντόμῳ Κατηχήσει περιειλημμένοις. Ὅπερ ἦν Διάταξιν φυλάττειν μάλιστα προσήκει, ἐφ' ᾧ τὰ παιδία ἤδη εἰς τὸ φρονεῖν ἥκοντα, καὶ τῷ λόγῳ χρῆσθαι

ORDO
CONFIRMATIONIS,

SEU,

Impositionis Manuum super eos qui Baptizati, ad adultam ætatem pervenerunt.

¶ Die ad hoc præstitutâ, quotquot tunc confirmandi sunt ordine dispositis, ac stantibus coram Episcopo; vel ipse (vel alius Minister ad hoc ab eo constitutus) hanc sequentem præfationem præleget.

UT Confirmatio cum majori eorum ædificatione qui confirmandi sunt, administretur, Ecclesiæ visum est statuere, ut nemo in posterum confirmetur, nisi qui teneat Symbolum Apostolicum, Orationem Dominicam, et Decalogum, et possit respondere ad alias illas quæstiones quæ habentur in breviore Catechismo. Quod quidem institutum maximè decet observari, ut pueri jam adulti, edoctíque

δυνάμενα, καὶ τὸ ὑπὲρ αὐτῶν Συμπαλέρες καὶ Συμμηλέρες ἐν τῷ Βαπλίσμαλι ἐπηγγείλαντο, μεμαθηκότα, αὐτὰ αὐτῶν ϛόματί τε καὶ γνώμῃ ἀναφανδὸν ἐνώπιον τῆς Ἐκκλησίας, αὐτὸ τᾶτο κυρῶσαί τε καὶ βεβαιῶσαι· ἔτι δὲ καὶ ἐπαγγείλασθαι, χάριτι Θεᾷ διὰ ϖανὸς σπεδὴν ϖοιήσασθαι, ὅπως, οἷς διὰ τῆς αὐτῶν ὁμολογίας συγκαλετέθειλο, ϖιϛῶς φυλάξωσι.

¶ Εἶτα ἐρεῖ ὁ ΕΠΙΣΚΟΠΟΣ,

ΑΡΑ γε ἐνώπιον τᾷ Θεᾷ καὶ ϖάσης τῆς Ἐκκλησίας ταύτης τὴν ὁσίαν ἐκείνην ἐπαγγελίαν καὶ εὐχὴν ἐν ὀνόματι ὑμῶν ἐν τῷ Βαπτίσμαλι γεγενημένην ἀνανεᾶτε, κυρᾶνλες καὶ βεβαιᾶνλες αὐτὴν ἐν τοῖς ἑαυτῶν ϖροσώποις, καὶ ὁμολογᾶνλες ὑπόχρεω εἶναι ϖιϛεύειν καὶ ϖοιεῖν ἐκεῖνα ϖάνλα ἃ οἱ Συμπαλέρες καὶ αἱ Συμμητέρες τότε ὑπὲρ ὑμῶν ἐπηγγείλανλο;

¶ Καὶ ἕκαϛος ἐξακολϛῶς ἀποκριθήσεται,

Πάνυ μὲν ᾶν.

ΕΠΙΣΚΟΠΟΣ.

Ἡ βοήθεια ἡμῶν ἐν Ὀνόμαλι Κυρίᾳ.

ΑΠΟΚΡΙΣΙΣ.

Τᾷ ϖοιήσανλος τὸν ἀρανὸν καὶ τὴν γῆν.

ΕΠΙΣΚΟΠΟΣ.

Εἴη τὸ Ὄνομα Κυρίᾳ εὐλογημένον.

ΑΠΟΚΡΙΣΙΣ.

Ἀπὸ τᾶ νῦν, καὶ ἕως τᾶ αἰῶνος.

quid Susceptores et Susceptrices pro ipsis in Baptismo promiserint, illud ipsum ipsi ore et motu proprio coram Ecclesiâ palam ratum habeant ac confirment; atque ut etiam promittant se, adjuvante Dei gratiâ, magis ac magis daturos operam ut ea fideliter præstent, quibus assentiri se professi sunt.

¶ Tum dicet EPISCOPUS,

Num hic coram Deo et hoc Cœtu iteratis solennem illam promissionem quæ facta, et votum quod nuncupatum est vestro nomine in Baptismo vestro; ipsi eadem rata habentes ac confirmantes, et agnoscentes vos teneri ea omnia credere et præstare, quæ tunc vestri Susceptores et Susceptrices pro vobis susceperunt?

¶ Et unusquisque, ita ut audiri possit, respondebit,

Maximè.

EPISCOPUS.

Adjutorium nostrum in nomine Domini.

RESPONSIO.

Qui fecit cœlum et terram.

EPISCOPUS.

Sit nomen Domini benedictum.

RESPONSIO.

Abhinc, et in sæcula sæculorum.

ἘΠΙΣΚΟΠΟΣ.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς ἡμῶν.

ἈΠΟΚΡΙΣΙΣ.

Καὶ ἡ κραυγὴ ἡμῶν πρός σε ἐλθέτω.

ἘΠΙΣΚΟΠΟΣ.

Εὐχώμεθα.

ΠΑΝΤΟΚΡΑΤΩΡ καὶ ἀείζωε Θεὸς, ὁ τούτους τὰς δούλους σου διὰ ὕδατος καὶ Πνεύματος Ἁγίου ἀναγεννῆσαι ἀξιώσας, καὶ ἄφεσιν πασῶν ἁμαρτιῶν αὐτῶν δοὺς αὐτοῖς· Ἐνδυνάμωσον αὐτοὺς, ἱκετεύομέν σε Κύριε, Πνεύματι Ἁγίῳ τῷ Παρακλήτῳ, καὶ ὁσημέραι αὔξησον ἐν αὐτοῖς τὰ πολλαπλάσια χαρίσματά σου· πνεῦμα τῆς σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος πνευματικῆς, πνεῦμα γνώσεως καὶ ἀληθινῆς εὐσεβείας· καὶ πνεύματος ὁσίου τῇ φόβου σου πλήρωσον αὐτοὺς, Κύριε, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Τότε γονυπετούντων ἁπάντων καθεξῆς ἔμπροσθεν τοῦ Ἐπισκόπου, ἐπιθήσει αὐτοὺς τὴν χεῖρα αὐτοῦ τῇ κεφαλῇ ἑνὸς ἑκάστου αὐτῶν ἰδίᾳ, λέγων,

ΕΠΑΜΥΝΟΝ, Κύριε, διὰ ἐπουρανίου τῆς χάριτός σου τούτῳ παιδί σου [ἢ τούτῳ τῷ δούλῳ σου] ἵνα τὸ τέκνον σου ἐς ἀεὶ διαμένῃ· καὶ καθ' ἑκάστην ἐπιπλεῖον ἐν τῷ ἁγίῳ σου Πνεύματι προκόπτῃ ἄχρις ἂν ἔλθῃ εἰς τὴν αἰώνιον βασιλείαν σου. Ἀμήν.

EPISCOPUS.

Domine, exaudi orationes nostras.

RESPONSIO.

Et clamor noster ad te perveniat.

EPISCOPUS.

Oremus.

Omnipotens et æterne Deus, qui hos famulos tuos aquâ et Spiritu Sancto regenerare dignatus es, quique iis concessisti omnium peccatorum suorum remissionem; eos quæsumus, Domine, Sancto Spiritu Paracleto confirma, et indies gratiæ tuæ dona multiplica; Spiritum sapientiæ et intelligentiæ; Spiritum consilii et spiritualis roboris; Spiritum cognitionis et veræ pietatis in illis adauge, eósque reple Spiritu sancti timoris tui, nunc et in sæcula sæculorum. *Amen.*

¶ Tunc omnibus ordine in genua provolutis coram Episcopo, uniu-cujusque capiti successivè manum imponet, dicens,

Hunc filium [*aut* hunc famulum] tuum cœlesti tuâ gratiâ protege, tuus ut semper maneat; et indies magis magísque Spiritu tuo augeatur, donec ad æternum regnum tuum perveniat. *Amen.*

¶ Εἶτα ὁ ἘΠΙΣΚΟΠΟΣ ἐρεῖ,

Ὁ Κύριος μεθ' ὑμῶν.

ἈΠΟΚΡΙΣΙΣ.

Καὶ μετὰ πνεύματός σου.

¶ Καὶ πάντων γονυπετούντων προσθήσεται
ὁ ἘΠΙΣΚΟΠΟΣ.

Δεηθῶμεν.

ΠΑΤΕΡ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· Ἁγιασθήτω τὸ ὄνομά σου· Ἐλθέτω ἡ βασιλεία σου· Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

¶ Καὶ ταύτην τὴν Συναπτήν.

ΠΑΝΤΟΚΡΑΤΩΡ καὶ αἰώνιε Θεὸς, ὁ ποιῶν ἡμᾶς ἐθέλειν τε καὶ πράττειν τὰ ἀγαθὰ, καὶ τῇ θείᾳ Μεγαλειότητί σου εὐπρόσδεκτα· τὰς ταπεινὰς δεήσεις ἡμῶν σοι προσφέρομεν ὑπὲρ τούτων τῶν δήλων σου, ἐφ' οἷς (κατὰ τὸ τῶν ἁγίων σου Ἀποστόλων παράδειγμα) τὰς χεῖρας ἐπεθήκαμεν, πρὸς τὸ μενύειν αὐτοῖς διὰ τούτου τοῦ συμβόλου τὴν χάριν σου καὶ εὐμενεστάτην εἰς

¶ Tum dicet EPISCOPUS,

Dominus vobiscum.

RESPONSIO.

Et cum spiritu tuo.

¶ Et (singulis in genua provolutis) EPISCOPUS subjunget,

Oremus.

PATER noster, qui es in cœlis: Sanctificetur nomen tuum: Adveniat regnum tuum: Fiat voluntas tua, sicut in cœlo, et in terrâ. Panem nostrum quotidianum da nobis hodie: Et dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris: Et ne nos inducas in tentationem; sed libera nos à malo. *Amen.*

¶ Et hanc Collectam.

OMNIPOTENS et æterne Deus, qui das velle et præstare quæ bona sunt et divinæ Majestati tuæ accepta: Supplices Te rogamus pro his famulis tuis, quibus, juxta sanctorum Apostolorum tuorum exemplum, manus nostras imposuimus, ut (hoc signo) certiores fiant de tuo favore, clementiâ, et bonitate erga ipsos. Maneat

αὐτὲς χρησότηϊα. Ἡ πατρῴα σε χεὶρ, δεόμεθά σε, πάντοϊε ἐπ' αὐτὲς, καὶ τὸ Ἅγιον Πνεῦμά σε ἀεὶ μετ' αὐτῶν ἔςω· καὶ ἐν τῇ τε λόγε σε γνώσει καὶ ὑπακοῇ ἅτως ὁδήγησον αὐτὲς, ὥςε τὸ τελευϊαῖον αἰωνίε ζωῆς ἐπιλυχεῖν, διὰ Ἰησε Χριςε τε Κυρίε ἡμῶν, τε συζῶντος καὶ συμβασιλεύονϊός σοι καὶ Πνεύμαϊι Ἁγίῳ, ἑνὸς Θεε, εἰς τὲς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παντοδύναμε Κύριε, καὶ ἀϊδιε Θεὸς, ἀξίωσον, δεόμεθά σε, τάς τε καρδίας καὶ τὰ σώμαϊα ἡμῶν ἐν ταῖς ὁδοῖς τῶν νόμων σε, καὶ ἐν τοῖς ἔργοις τῶν ἐντολῶν σε εὐθύνειν, ἁγιάζειν τε καὶ διοικεῖν· ὥςε τῷ ἰσχυροϊάτῳ σκεπάσματί σε νῦν τε καὶ ἐς ἀεὶ, τό,τε σῶμα καὶ τὴν ψυχὴν διαφυλαχθῆναι ἡμᾶς διὰ Ἰησε Χριςε τε Κυρίε ἡμῶν. Αμήν.

¶ Εἶτα ὁ Ἐπίσκοπος εὐλογήσει αὐτὲς, λέγων ἅτως,

Ἡ Εὐλογία Θεε τε παντοκράτορος τε Πατρὸς, τε Υἱε, καὶ τε Ἁγίε Πνεύμαϊος, ἐφ' ὑμᾶς εἴη, καὶ ἀεὶ μεθ' ὑμῶν διαμένοι. Ἀμήν.

¶ Καὶ ἀδὲις εἰς τὴν ἁγίαν Σύναξιν προσδεχθήσεϊαι, εἰ μὴ πρότερον βεβαιωθεὶς, ἢ ἕτοιμός γε ὢν, καὶ ἐπιθυμῶν βεβαιωθῆναι.

semper super eis, quæsumus, paterna manus tua; semper cum illis sit Sanctus Spiritus tuus; et eos ita deducas in cognitionem et obsequium verbi tui, ut tandem vitam æternam consequantur, per Jesum Christum, qui unà Tecum et cum Spiritu Sancto vivit et regnat, semper unus Deus, in sæcula sæculorum. *Amen.*

Domine Omnipotens, et æterne Deus, corda et corpora nostra, quæsumus, dirigere, sanctificare, ac regere digneris in viis legis tuæ, et in operibus mandatorum tuorum; ut potentissimâ tuâ protectione cum corpore tum animo hic et in æternum tuti simus, per Jesum Christum Dominum et Servatorem nostrum. *Amen.*

¶ Tum eis benedicet EPISCOPUS, ita dicens,

Benedictio Omnipotentis Dei, Patris, Filii, et Spiritûs Sancti, vobis adsit, semperque vobiscum maneat. *Amen.*

¶ Nec quisquam admittetur ad sacram Communionem, donec fuerit confirmatus, aut nisi sit idoneus qui confirmetur, et confirmari cupiat.

Σύμβολον τῆς ἐν Νικαίᾳ Συνόδου.

ΠΙΣΤΕΥΩ εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων· Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα διὰ πνεύματος ἁγίου ἐκ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα· καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον καὶ ζωοποιὸν, τὸ ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Καὶ πιστεύω εἰς ἐκκλησίαν μίαν, ἁγίαν, καθολικὴν, καὶ ἀποστολικήν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀναστάσιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Σύμβολον τῦ ἁγίυ Ἀθανασίυ.

Ὅστις βέλεται σωθῆναι, πρὸ πάντων χρὴ κρατεῖν τὴν καθολικὴν πίσιν· ἣν εἰ μὴ εἷς ἕκαστος σώαν καὶ ἀμώμητον τηρήσῃ, ἄνευ δισαγμῦ εἰς τὸν αἰῶνα ἀπολεῖται. Πίσις δὲ ἡ καθολικὴ αὕτη ἐστὶν, ἵνα ἕνα Θεὸν ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι σεβώμεθα· μήτε συγχέοντες τὰς ὑποςάσεις, μήτε τὴν ὐσίαν μερίζοντες· ἄλλη γάρ ἐστιν ἡ ὑπόςασις τῦ πατρὸς, ἄλλη τῦ υἱῦ, ἄλλη τῦ πνεύματος ἁγίυ· ἀλλὰ πατρὸς, καὶ υἱῦ, καὶ ἁγίυ πνεύματος μία ἐστὶν ἡ θεότης, ἴση ἡ δόξα, συναΐδιος ἡ μεγαλειότης· οἷος ὁ πατὴρ, τοιῦτος ὁ υἱὸς, τοιῦτο καὶ τὸ ἅγιον πνεῦμα. ἄκτιστος ὁ πατὴρ, ἄκτιστος ὁ υἱὸς, ἄκτιστον καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἀκατάληπτος ὁ πατὴρ, ἀκατάληπτος ὁ υἱὸς, ἀκατάληπτον καὶ τὸ πνεῦμα τὸ ἅγιον. αἰώνιος ὁ πατὴρ, αἰώνιος ὁ υἱὸς, αἰώνιον καὶ τὸ πνεῦμα τὸ ἅγιον. πλὴν ὐ τρεῖς αἰώνιοι, ἀλλ' εἷς αἰώνιος, ὥσπερ ὐδὲ τρεῖς ἀκατάληπτοι, ὐδὲ τρεῖς ἄκτιστοι, ἀλλ' εἷς ἄκτιστος, καὶ εἷς ἀκατάληπτος. Ὁμοίως παντοδύναμος ὁ πατὴρ, παντοδύναμος καὶ ὁ υἱὸς, παντοδύναμον καὶ τὸ πνεῦμα τὸ ἅγιον· πλὴν ὐ τρεῖς παντοδύναμοι, ἀλλ' εἷς παντοδύναμος. Οὕτω Θεὸς ὁ πατὴρ, Θεὸς ὁ υἱὸς, Θεὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον· πλὴν ὐ τρεῖς Θεοὶ, ἀλλ' εἷς Θεός. Ὁμοίως Κύριος ὁ πατὴρ, Κύριος ὁ υἱὸς, Κύριος καὶ τὸ πνεῦμα τὸ ἅγιον· πλὴν

ϑ τρεῖς Κύριοι, ἀλλ' εἷς ἐστὶ Κύριος· ὅτι ὡς ἰδίαν μίαν ἑκάστην ὑπόστασιν Θεὸν καὶ Κύριον ὁμολογεῖν τῇ Χριστιανικῇ ἀληθείᾳ βιαζόμεθα, οὕτω τρεῖς Θεὸς ἢ τρεῖς Κυρίους λέγειν, τῇ καθολικῇ εὐσεβείᾳ κωλυόμεθα. Ὁ πατὴρ ἀπ' οὐδενός ἐστι ποιητός, οὔτε μὴν κτιστὸς, οὐδὲ γεννητός. ὁ υἱὸς ἀπὸ τοῦ πατρὸς μόνου ἐστὶν, οὐ ποιητὸς, οὐ κτιστὸς, ἀλλὰ γεννητός. τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, οὐ ποιητὸν, οὐ κτιστὸν, οὐδὲ γεννητὸν, ἀλλ' ἐκπορευτόν. εἷς οὖν πατὴρ, οὐ τρεῖς πατέρες· εἷς υἱὸς, οὐ τρεῖς υἱοί· ἓν πνεῦμα ἅγιον, οὐ τρία πνεύματα ἅγια. καὶ ταύτῃ τῇ τριάδι οὐδὲν πρότερον ἢ ὕστερον, οὐδὲν μεῖζον ἢ ἔλαττον, ἀλλὰ σῶαι αἱ τρεῖς ὑποστάσεις, καὶ συναΐδιαι εἰσιν ἑαυταῖς, καὶ ἴσαι. Ὥστε καθὰ πάντα (καθὼς εἴρηται) καὶ τὴν μονάδα ἐν τριάδι σέβεσθαι δεῖ, καὶ τὴν τριάδα ἐν μονάδι. Ὁ οὖν βουλόμενος σωθῆναι, οὕτω περὶ τριάδος φρονείτω.

Πλὴν ἀναγκαῖόν ἐστι πρὸς αἰώνιον σωτηρίαν ὅπως καὶ τὴν ἐνσάρκωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὀρθῶς πιστεύσῃ. ἔστι γὰρ πίστις ὀρθὴ ἵνα πιστεύωμεν καὶ ὁμολογῶμεν ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, Θεὸς καὶ ἄνθρωπός ἐστι. Θεος ἐκ τῆς οὐσίας τοῦ πατρὸς πρὸ αἰώνων γεννηθεὶς, καὶ ἄνθρωπος ἐκ τῆς οὐσίας τῆς μητρὸς ἐν τῷ αἰῶνι τεχθείς· τέλειος Θεὸς καὶ τέλειος ἄνθρωπος, ἐκ ψυχῆς λογικῆς καὶ ἀνθρωπίνης σαρκὸς

ὑφισάμενος· ἴσος τῷ πατρὶ κατὰ τὴν θεότητα, ἐλάττων τοῦ πατρὸς κατὰ τὴν ἀνθρωπότητα· ὃς εἰ καὶ θεὸς καὶ ἄνθρωπός ἐστιν, οὐ δύο ὅμως, ἀλλ' εἷς ἐστὶ Χριστός· εἷς δὲ οὐ τροπῇ τῆς θεότητος εἰς σάρκα, ἀλλὰ προσλήψει τῆς ἀνθρωπότητος εἰς θεόν· εἷς πάντως, οὐ συγχύσει τῆς οὐσίας, ἀλλ' ἑνότητι τῆς ὑποστάσεως· καὶ γὰρ ὡς ψυχὴ λογικὴ καὶ ἡ σὰρξ εἷς ἐστιν ἄνθρωπος, οὕτω καὶ ὁ θεάνθρωπος εἷς ἐστι Χριστός, ὃς ἔπαθε διὰ τὴν σωτηρίαν ἡμῶν, κατῆλθεν εἰς ᾅδου, ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν, ἀνῆλθεν εἰς οὐρανούς, κάθηται ἐκ δεξιῶν τοῦ πατρὸς τοῦ θεοῦ παντοκράτορος, ὅθεν ἥξει κρῖναι ζῶντας καὶ νεκρούς· ἧ τῇ παρουσίᾳ πάντες οἱ ἄνθρωποι ἀναστήσονται μετὰ τῶν σωμάτων αὐτῶν, καὶ ἀποδώσουσιν ἐξ ἰδίων ἔργων τὴν ἀπολογίαν. καὶ οἱ μὲν τὰ ἀγαθὰ πράξαντες πορεύσονται εἰς ζωὴν αἰώνιον, οἱ δὲ τὰ φαῦλα, εἰς τὸ πῦρ τὸ αἰώνιον. αὕτη ἐστιν ἡ καθολικὴ πίστις, ἣν ἐὰν μή τις πιστῶς πιστεύσῃ σωθῆναι οὐ δυνήσεται.

Ἐκ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Νικαίᾳ, περὶ πίστεως καὶ συντομίαν, καὶ πῶς δεῖ πιστεύειν τὸν ἀληθῆ Χριστιανόν.

Εἴ τις βέλοιτο σωθῆναι, πρὸ πάντων αὐτῷ χρεία κρατῆσαι τὴν ὀρθόδοξον πίστιν. ἣν ἐὰν μή τις ἀμόλυντον καὶ ἄφθορον τηρήσῃ, αἰώνιον εὑρήσει τὴν ἀπώλειαν. Πίστις δέ ἡ

ὀρθόδοξος αὕτη ἐστὶν, ἵνα ἕνα θεὸν ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι σέβωμεν, μήτε συγχέοντες τὰς ὑποστάσεις, μήτε τὴν οὐσίαν διαιροῦντες. ἄλλη γὰρ ὑπόστασις τοῦ πατρὸς, ἄλλη τοῦ υἱοῦ, ἄλλη τοῦ ἁγίου πνεύματος. ἀλλὰ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, μία ἐστὶν ἡ θεότης, ἓν τὸ κράτος, μία ἐξουσία, μία βασιλεία, ἴση ἡ δόξα, ἴση ἡ μεγαλωσύνη, καὶ αἰώνιος. Οἷος ὁ πατὴρ, τοιοῦτος ὁ υἱὸς, τοιοῦτον τὸ πνεῦμα τὸ ἅγιον. ἄκτιστος ὁ πατὴρ, ἄκτιστος ὁ υἱὸς, ἄκτιστον τὸ πνεῦμα τὸ ἅγιον· καὶ οὐ τρεῖς ἄκτιστοι, ἀλλ' εἷς ἄκτιστος. παντοκράτωρ ὁ πατὴρ, παντοκράτωρ ὁ υἱὸς, παντοκράτωρ τὸ πνεῦμα τὸ ἅγιον· καὶ οὐ τρεῖς παντοκράτορες, ἀλλ' εἷς παντοκράτωρ. αἰώνιος ὁ πατὴρ, αἰώνιος ὁ υἱὸς, αἰώνιον τὸ πνεῦμα τὸ ἅγιον· καὶ οὐ τρεῖς αἰώνιοι, ἀλλ' εἷς αἰώνιος. παντοδύναμος ὁ πατὴρ, παντοδύναμος ὁ υἱὸς, παντοδύναμον τὸ πνεῦμα τὸ ἅγιον· καὶ οὐ τρεῖς παντοδύναμοι, ἀλλ' εἷς παντοδύναμος. οὕτω θεὸς ὁ πατὴρ, θεὸς ὁ υἱὸς, θεὸς τὸ πνεῦμα τὸ ἅγιον· καὶ οὐ τρεῖς θεοὶ, ἀλλ' εἷς ἐστὶ θεός. κύριος ὁ πατὴρ, κύριος ὁ υἱὸς, κύριος τὸ πνεῦμα τὸ ἅγιον· καὶ οὐ τρεῖς κύριοι, ἀλλ' εἷς ἐστὶ κύριος. καὶ ὥσπερ μοναδικῶς μίαν ἑκάστην ὑπόστασιν θεὸν καὶ κύριον ὁμολογεῖν Χριστιανικῇ ἀληθείᾳ συνηγορούμεν, οὕτω τρεῖς θεοὺς, ἢ τρεῖς κυρίους λέγειν οὐ συναινοῦμεν, ἀλλὰ παντελῶς ἀπαγορεύομεν.

πατὴρ γὰρ παρ' οὐδενός ἐστι ποιητὸς, οὐ κτιστος, ἀλλ' ἀγέννητος· ὁ υἱὸς ἀπὸ τοῦ πατρός ἐστιν, οὐ ποιητὸς, οὐ κτιστὸς, ἀλλὰ γεννητός· τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ πατρός ἐστιν, οὐ ποιητὸν, οὐ κτιστὸν, οὐ γεννητὸν, ἀλλ' ἐκπορευτόν· εἷς λοιπὸν ὁ πατὴρ, οὐ τρεῖς πατέρες· εἷς υἱὸς, οὐ τρεῖς υἱοί· ἓν πνεῦμα ἅγιον, οὐ τρία πνεύματα ἅγια. καὶ ἐν ταύτῃ τῇ τριάδι, οὐδεὶς πρῶτος ἢ ἔσχατος, οὐδεὶς μέγας ἢ μικρός· ἀλλὰ αἱ τρεῖς αὗται ὑποστάσεις, αἰώνιαί τε εἰσὶ, καὶ ἴσαι εἰς πάντα, ὡς προείρηται· μονάδα γὰρ ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι, πᾶς Χριστιανὸς εὐσεβέσθω, καὶ οὕτω περὶ τῆς ἁγίας καὶ ζωοποιοῦ, καὶ ὁμοουσίου τριάδος δοξαζέτω.

Ἀναγκαῖον δέ ἐστι καὶ τὴν σάρκωσιν τοῦ υἱοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὀρθῶς πιστεύειν. ἔστι γὰρ ἡ πίστις ἡ ὀρθὴ, ἵνα πιστεύωμεν καὶ ὁμολογῶμεν, ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστος ὁ τοῦ θεοῦ υἱὸς, θεὸς καὶ ἄνθρωπός ἐστιν. ἄκτιστός ἐστι καὶ οὐσία πατρός· ἄνθρωπός ἐστιν ἐκ τῆς οὐσίας τῆς μητρός. ἐπειδὴ γὰρ ἁμαρτήσας ὁ Ἀδὰμ θανάτῳ τὸ γένος τῶν ἀνθρώπων ὑπέβαλε, καὶ τὴν φύσιν ἡμῶν ὑπεύθυνον τῷ χρεῖ πεποίηκεν, ὁ υἱὸς λοιπὸν τοῦ ἀοράτου πατρὸς καὶ θεοῦ, τῶν οὐρανῶν οὐκ ἐκστὰς, πρὸς ἡμᾶς κατῆλθε, καὶ δι' ἀκοῆς εἰσοὺς τὴν νηδὺν τῆς ἁγίας παρθένου, μυστικῶς τὴν κυοφορίαν εἰργάσατο, ἐνδὺς τὴν ἡμετέραν φύσιν

καΐ ἄκραν ἕνωσιν. Θεὸς ὁμȣ̃ καὶ ἄνθρωπος προελθὼν, ȣ̃τω τὴν καθ' ἡμᾶς οἰκονομίαν ἐπλήρωσε δι' ἄφατον ἔλεον· καὶ τέλειος Θεὸς ὢν γέγονε τέλειος ἄνθρωπος, μὴ τραπεὶς, μη ἀλλοιωθεὶς τὴν ὑπερȣ́σιον καὶ ἄφραςον ȣ̓σίαν τῆς αὐτȣ̃ Θεότητος. ἐκ ψυχῆς λογικῆς, καὶ ἀνθρωπίνης σαρκὸς ȣ̓σιωθείς· αὐτὸς ἑαυτῷ σὺν τῷ συμφυεῖ αὐτȣ̃ παναγίῳ πνεύματι δημιȣργήσας τὴν παναγίαν τῆς σαρκὸς πρόσληψιν. τελείαν ȣ̓σίαν ἀνθρωπίνην, ἐνυπόςατον αὐτῷ καὶ ἀδιαίρετον ἐξ αὐτȣ̃, ἁμαρτίας ἀμέθεκτον. ἐκ τῶν παρθενικῶν ἁγνῶν αἱμάτων τῆς Θεομήτορος σύμπαγέντος τȣ̃ σώματος, χωρὶς τινὸς Θελήματος ἢ ἐννοήματος σαρκικȣ̃· τῆς δὲ ψυχῆς ἀΰλως κτιθείσης, νοερᾶς, λογικῆς, Θελητικῆς, ἐνεργητικῆς, ὅλης τεθεωμένης σὺν τῇ σαρκὶ, ἐξ αὐτῆς ἀρχῆς, ἐκ πρώτης ὑπάρξεως, διὰ τὴν πρὸς αὐτὸν τὸν Θεὸν Λόγον ἄκραν ἕνωσιν, ἀσύγχυτον καθ' ὑπόςασιν.

Ἶσος ȣ̃ν ἐςὶ τῷ πατρὶ κατὰ τὴν Θεότητα, ἐλάττων δὲ τȣ̃ πατρὸς κατὰ τὴν ἀνθρωπότητα. καὶ ὄντως ἀληθινὸς ὑπάρχει Θεὸς καὶ ἄνθρωπος, ὅμως ȣ̓ δύο, ἀλλ' εἷς ἐςὶν ὁ Χριςὸς, εἷς δὲ ȣ̓ τραπεῖσα ἡ σὰρξ, ἀλλὰ ἀναληφθεῖσα εἰς τὸν Θεόν. εἷς ὁλικῶς, ȣ̓ συγχύσει ȣ̓σιῶν, ἀλλ' ἑνώσει τὸ καθ' ὑπόςασιν· καὶ γὰρ ὥσπερ ψυχὴ λογικὴ καὶ σὰρξ εἷς ὑπάρχει ἄνθρωπος, ȣ̃τω καὶ Θεὸς καὶ ἄνθρωπος εἷς ἐςὶν ὁ Χριςός. ὃς ἔπαθε τῇ σαρκὶ διὰ τὴν ἡμετέραν σωτηρίαν,

ἀπαθῆς τῆς Θεότητος μενέσης. καὶ ταφεὶς, καὶ ἀναστὰς, καὶ ἀναληφθεὶς εἰς τὸς οὐρανὸς, ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ πατρός. ἐκεῖθεν δὲ πάλιν ἐρχόμενος κρινεῖ ζῶντας καὶ νεκρούς. οὗ τῇ παρουσίᾳ πάντες οἱ ἀπ' αἰῶνος κεκοιμημένοι ἄνθρωποι ἀναστήσονται, λόγον ἀποδοῦναι περὶ τῶν πράξεων αὐτῶν. καὶ οἱ μὲν ἀγαθὰ πράξαντες πορεύσονται τῷ κελεύσματι αὐτοῦ εἰς αἰώνιον ζωήν· οἱ δὲ φαῦλα πράξαντες πορεύσονται εἰς αἰωνίους κολάσεις. Αὕτη τοίνυν ἐστὶν ἡ ὀρθόδοξος πίστις, ἣν ὁ μὴ τηρήσας ἀμώμητον σωθῆναι οὐ δύναται.

Ἡ ἐκτεθεῖσα παρὰ τῆς ἐν Καλχηδόνι Συνόδου Πίστις.

Ἑπόμενοι τοίνυν τοῖς ἁγίοις πατράσιν, ἕνα καὶ τὸν αὐτὸν ὁμολογοῦμεν Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ συμφώνως ἅπαντες ἐκδιδάσκομεν τέλειον τὸν αὐτὸν ἐν Θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι· Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς, τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος· ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν Θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· κατὰ πάντα ὅμοιον ἡμῖν, χωρὶς ἁμαρτίας. πρὸ αἰώνων μὲν ἐκ τοῦ Πατρὸς γεννηθέντα κατὰ τὴν Θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς

καὶ διὰ τὴν ἡμελέραν σωτηρίαν ἐκ Μαρίας της παρθένε καὶ Θεοτόκε κατὰ τὴν ἀνθρωπότητα· ἕνα καὶ τὸν αὐτὸν Ἰησῦν Χριστὸν υἱὸν Κύριον μονογενῆ ἐν δύο φύσεσιν, ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον, ὑδαμῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνηρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐχ ὡς εἰς δύο πρόσωπα μεριζόμενον, ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ Θεὸν λόγον καὶ Κύριον Ἰησῦν Χριστόν· καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτῦ, καὶ ἡμᾶς αὐτὸς ὁ Χριστὸς ἐξεπαίδευσε, καὶ τὸ τῶν πατέρων ἡμῖν παραδέδωκε σύμβολον.

Ἀσπασμὸς πρὸς τὴν Ἁγιωτάτην Παρθένον.

Ε'ΙΣΕΛΘΩ'Ν ὁ ἄγγελος πρὸς αὐτὴν [Μαριὰμ] εἶπε, Χαῖρε κεχαριτωμένη· ὁ Κύριος μετά σε. εὐλογημένη σὺ ἐν γυναιξίν.

Ὠδὴ τῆς Ἁγιώτατης Παρθένε Μαρίας.

ΜΕΓΑΛΥ'ΝΕΙ ἡ ψυχή με τὸν Κύριον, καὶ ἠγαλλιασε τὸ πνεῦμά με ἐπὶ τῷ Θεῷ τῷ σωτηρί με· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτῦ. Ἰδὲ γὰρ, ἀπὸ τῦ νῦν

μακαριοῦσί με πᾶσαι αἱ γενεαί· Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν τοῖς φοβουμένοις αὐτόν. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν· Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. Πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους (καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ) εἰς τὸν αἰῶνα.

Ὠδὴ Ζαχαρίου.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ. Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ, σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς. Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ. Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν· ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας λατρεύειν αὐτῷ. Ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώ-

πιον αὐτῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμων. Καὶ σὺ παιδίον προφήτης ὑψίσϑ κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπϑ Κυρίϑ ἑτοιμάσαι ὁδὸς αὐτῦ, Τῦ δῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν. Διὰ σπλάγχνα ἐλέϑς Θεῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψαλο ἡμᾶς ἀνάλολὴ ἐξ ὕψϑς. Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτϑ καθημένοις· τῦ κάλευθύναι τὰς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Ὠδὴ Συμέωνος.

Νῦν ἀπολύεις τὸν δῦλόν σϑ, δέσπολα, κατὰ τὸ ῥῆμά σϑ, ἐν εἰρήνῃ· Ὅτι εἶδον οἱ ὀφθαλμοί μϑ τὸ σωτήριόν σϑ, Ὃ ἡτοίμασας κατὰ πρόσωπον πάνλων τῶν λαῶν· Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαῦ σῦ Ἰσραήλ.

Ψαλμὸς τῷ Δαβίδ. Ψάλ. ργ΄.

Εὐ'λΟ'ΓΕΙ ἡ ψυχή μϑ τὸν Κύριον· καὶ πάνλα τὰ ἐντός μϑ τὸ ὄνομα τὸ ἅγιον αὐτῦ.

Εὐλόγει ἡ ψυχή μϑ τὸν Κύριον· καὶ μὴ ἐπιλανθάνϑ πάσας τὰς ἀνλαποδόσεις αὐτῦ·

Τὸν εὐϊλατεύονλα πάσας τὰς ἀνομίας σϑ· τὸν ἰώμενον πάσας τὰς νόσϑς σϑ·

Τὸν λυλρόμενον ἐκ φθορᾶς τὴν ζωήν σϑ· τὸν ςεφανῦνλά σε ἐν ἐλέει καὶ οἰκλιρμοῖς·

Τὸν ἐμπιμπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σȣ· ἀνακαινισθήσεται ὡς ἀετȣ̃ ἡ νεότης σȣ.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος· καὶ κρῖμα πᾶσι τοῖς ἀδικȣμένοις.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος· μακρόθυμος καὶ πολυέλεος, καὶ ἀληθεινός.

Οὐκ εἰς τέλος ὀργισθήσεται· ȣ̓δὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν· ȣ̓δὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τȣ̃ ȣ̓ρανȣ̃ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτȣ̃ ἐπὶ τȣ̀ς φοβȣμένȣς αὐτόν.

Καθόσον ἀπέχȣσιν ἀνατολαὶ ἀπὸ δυσμῶν· ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.

Καθὼς ᾠκτείρησεν πατὴρ υἱȣ́ς· ᾠκτείρησε Κύριος τȣ̀ς φοβȣμένȣς αὐτόν.

Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν· ἐμνήσθη ὅτι χȣ̃ς ἐσμεν.

Ἄνθρωπος ὡσεὶ χόρτος, αἱ ἡμέραι αὐτȣ· ὡσεὶ ἄνθος τȣ̃ ἀγρȣ̃, ȣ̃τως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ ȣ̓χ ὑπάρξει· καὶ ȣ̓κ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτȣ̃.

Τὸ δὲ ἔλεος τȣ̃ Κυρίȣ ἀπὸ τȣ̃ αἰῶνος καὶ ἕως τȣ̃ αἰῶνος ἐπὶ τȣ̀ς φοβȣμένȣς αὐτόν· καὶ ἡ δικαιοσύνη αὐτȣ̃ ἐπὶ υἱοῖς υἱῶν,

Τοῖς φυλάσσουσι την διαθήκην αὐτοῦ· καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ· καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον πάντες ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ· τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ· λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτίας αὐτοῦ· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Ὕμνος ἑωθινός.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Αἰνοῦμέν σε· Εὐλογοῦμέν σε· Προσκυνοῦμέν σε· Δοξολογοῦμέν σε· Εὐχαριστοῦμέν σοι· διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ ἐπουράνιε, Θεὲ πατὴρ παντοκράτορ. Κύριε υἱὲ μονογενὲς, Ἰησοῦ Χριστέ. καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεὸς, Ὁ ἀμνὸς τοῦ Θεοῦ, Ὁ υἱὸς τοῦ παιδὸς, Ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, Ἐλέησον ἡμᾶς.

Ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, Πρόσδεξαι τὴν δέησιν ἡμῶν. Ὁ καθήμενος ἐν δεξιᾷ τοῦ πατρὸς, Ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, Σὺ εἶ μόνος κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ πατρός. Ἀμήν.

Ὠδὴ.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, καὶ τὴν ἡμέραν ταύτην ἀναμαρτήτους φυλαχθῆναι ἡμας.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομα σου εἰς τοὺς αἰῶνας.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.

Ἐγὼ εἶπα, Κύριε ἐλέησόν με· Ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε πρὸς σὲ κατέφυγον· Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου,

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσίν σε.

Εὐλογία τῆς Τραπέζης πρὸ τῦ γεύσασθαι.

ΧΡΙΣΤΕ ὁ Θεὸς εὐλόγησον τὴν βρῶσιν καὶ τὴν πόσιν τῶν δούλων σου, ὅτι ἅγιος εἶ πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχαριστία μετὰ τὸ γεύσασθαι.

ΕΥΛΟΓΗΤΟΣ ὁ Θεὸς ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς ἐκ τῶν αὐτῦ πλουσίων δωρεῶν τῇ αὐτῦ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

EXCUDEBAT . IOHANNES . NICHOLS . CVM . SOCIIS
OLIM . SCHOLAE . PAVLINAE . ALVMNIS
LONDINI . A. D. M.DCCC.XIV.